σοφός.] κατ' εἰρωνείαν. ὁ γὰρ Ἀργεῖος σοφός. ὁ δ' Ἱερώνυμος, ἀμαθής. ταῦτα δὲ εἰς τὸ κωμῳδῆσαί τινας. τὸ
A δὲ Ἀργεῖος ὄνομα κύριον.

Σωτηρία παρέκυψεν, ἀλλ' ὀρίζεται
Θρασύβουλος αὐτὸς οὐχὶ παρακαλούμενος.
Γυ. Ὡς ξυνετὸς ἀνήρ. Πρ. νῦν καλῶς ἐπῄνεσας.
Ὑμεῖς γ' ἄρ' ἐστ' ὦ δῆμε τούτων αἴτιοι.
Τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα,
Ἴδια σκοπεῖσθ' ἕκαστος ὅ τι τις κερδανεῖ.
Τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται.
Ἢν οὖν ἐμοὶ πείθησθε, σωθήσεσθ' ἔτι.
Ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
Ὑμᾶς παραδοῦναι. καὶ γὰρ ἐν ταῖς οἰκίαις
Ταύταις ἐπιτρόποις καὶ ταμίαισι χρώμεθα.
Γυ. Εὖ γ' εὖ γε νὴ Δί' εὖ γε. λέγε λέγ' ὠγαθέ.
Πρ. Ὡς δ' εἰσὶν ἡμῶν τοὺς τρόπους βελτίονες
Ἐγὼ διδάξω. πρῶτα μὲν γὰρ τἄρια
Βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον
Ἁπαξάπασαι, κοὐχὶ μεταπειρωμένας
Ἴδοις ἂν αὐτάς. ἡ δ' Ἀθηναίων πόλις
Εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσῴζετο
Εἰ μή τι καινὸν ἄλλο περιειργάζετο.
Καθήμεναι φρύγουσιν ὥσπερ καὶ πρὸ τοῦ.
Ἐπὶ τῆς κεφαλῆς φέρουσιν ὥσπερ καὶ πρὸ τοῦ.
Τὰ Θεσμοφόρι' ἄγουσιν ὥσπερ καὶ πρὸ τοῦ.
Τοὺς ἄνδρας ἐπιτρίβουσιν ὥσπερ καὶ πρὸ τοῦ.
Μοιχοὺς ἔχουσιν ἔνδον ὥσπερ καὶ πρὸ τοῦ.
Αὐτοῖς παροψωνοῦσιν, ὥσπερ καὶ πρὸ τοῦ.
Τὸν οἶνον εὔζωρον φιλοῦσ' ὥσπερ πρὸ τοῦ.
Βινούμεναι χαίρουσιν, ὥσπερ καὶ πρὸ τοῦ.
Ταύταισιν οὖν ὦνδρες παραδόντες τὴν πόλιν
Μὴ περιλαλῶμεν, μηδὲ πυνθανώμεθα
Τί ποτ' ἄρα δρᾶν μέλλουσιν. ἀλλ' ἁπλῷ τρόπῳ
Ἐῶμεν ἄρχειν, σκεψάμενοι ταυτὶ μόνα.
Ὡς τοὺς στρατιώτας πρῶτον οὖσαι μητέρες
Σῴζειν ἐπιθυμήσουσιν. εἶτα σιτία
Τίς τῆς τεκούσης μᾶλλον ἐπιπέμψειεν ἄν.
Χρήματα πορίζειν εὐπορώτατον γυνή.
Ἄρχουσα τ' οὐκ ἂν ἐξαπατηθείη ποτέ.
Αὐταὶ γάρ εἰσιν ἐξαπατᾶν εἰθισμέναι.
Τὰ δ' ἄλλ' ἐάσω. ταῦτα κἂν πείθησθέ μοι,
Εὐδαιμονοῦντες τὸν βίον διάξετε.

*Salus declinata est, sed terminat*
*Thrasybulus ipse non aduocatus.*
*MVL. Valde intelligens vir. PRA. nunc bene laudasti.*
*Vos igitur estis ô popule, horum causæ*
*Publicas mercedem ferentes res,*
B *Propria consideratis vnusquisque, quid quis lucratur.*
*Hoc autem commune velut Æsimus voluitur.*
*Si igitur mihi persuademini, saluabitis adhuc.*
*His enim mulieribus dico opus esse ciuitatem*
*Vos tradere, etenim in domibus*
*His commissariis & gubernatoribus vtimur.*
*MVL. Bene, bene per Iouem, dic, dic ô bone.*
C *Quod autem nobis moribus meliores,*
*Ego docebo. primùm quidem enim lanas*
*Tingunt calida, secundum antiquam legem*
*Omnes, non iterum tentantes*
*Videbas ipsas. hæc autem Atheniensiũ ciuitas,*
*Si hoc bene habet, non saluabitur,*
*Si non quid nouum aliud operabitur.*
*Sedentes siccant vt & prius,*
*In capite ferunt sicut & prius.*
D *Thesmaphora agunt sicut & prius,*
*Viros fricant sicut & prius.*
*Mœchos habent intus sicut & prius,*
*Ipsis obsoniant sicut & prius,*
*Vinum merum amant sicut & prius,*
*Subagitatæ gaudent sicut & prius,*
*His igitur ô viri tradentes ciuitatem*
*Non nugemur, neque interrogemus,*
E *Quid aliquando facere volunt. sed simplici more*
*Sinamus imperare, considerantes hæc sola,*
*Quòd exercitus primùm existentes, matres*
*Saluare cupiunt, postea cibos*
*Quis pariente magis immittat.*
*Res præbere facillimum mulier,*
*Imperans non decipietur vnquam.*
*Ipsæ enim sunt decipere consuetæ.*
F *Hæc autem alia sinã. hæc si persuadebimini mihi,*
*Bene fortunati vitam degetis.*

Σχόλια. Θρασύβουλος.] ὅτι αὐθάδης καὶ δωροδόκος. ὑπερόπτης ὢν τοῦ δήμου, ἠβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι. Τὰ δημόσια γὰρ μισθοφοροῦντες.] ὅπως μὲν αὐτοὶ κερδανεῖτε σκοπεῖσθε. ὅπως δὲ φροντίσετε περὶ τῶν κοινῶν ἐξ ὧν μισθοφορεῖται ἀμελεῖτε τοῦ κοινοῦ. Αἴσιμος.] χωλὸς ἄτιμος καὶ ἀμαθής.

Bisetus. Αἴσιμος, ὄνομα κύριον ἀνδρός τινος ἀτίμου καὶ ἀμαθοῦς, καὶ χωλοῦ. διὸ καὶ τὰ πράγματα κυλίνδεσθαι, τουτέστι χωλεύειν, ὥσπερ τὸν Αἴσιμον λέγει. αἴσιμος γὰρ ἐπιθετικῶς ληφθὲν σημαίνει τὸν ἄνδρα τὸν τηροῦντα τὸ αἴσιον, ἤγουν τὸ καθῆκον, καὶ τὸ δίκαιον.

Σχόλια. Σωθήσεσθ' ἔτι.] παρέλκει τὸ ἔτι παρὰ τοῖς Ἀττικοῖς. Ταμίαις.] ἐφόροις. φύλαξι. διοικητρίαις. Βάπτουσι.] πλύνουσι. Εἰ μή τι καινὸν ἄλλο.] ἀντὶ τοῦ εἰ μὴ ἐπολυπραγμόνει καὶ καινὰς ἔφερε πολιτείας. Φρύγουσι.] λείπει τὸ τρίχας. ἐπιτρίβουσι μοιχεύουσιν ἢ ἐν τῷ μηδὲν πράττειν. Παροψωνοῦσιν.] ἀντὶ τοῦ λάθρα ὀψωνοῦσιν. Εὔζωρον.] ἄκρατον. Μὴ περιλαλῶμεν.] φλυαρῶμεν. Σκεψάμενοι.] ὅτι ἐκ τῶν ἐπαγομένων λογισάμενοι. Πορίζειν.] εὑρίσκειν. συνάγειν. Τὰ δ' ἄλλα.]
G μετὰ τὸ ἐάσω στικτέον. τὸ δὲ ταῦτα, ὅτι ταῦτα συμβουλεύω. ἐν ταῖς φυγαῖς. τόπος τοῦ δικαστηρίου ἀποκεκρυμμένος.

Τυ.